UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Theologōn diaphorōn syngrammata palaia kai orthodoxa

Gessner, Conrad

Tiguri, 1560

VD16 G 1810

Canones Patrvm Qvi Secvndo Niceae Convenervnt Anno A Mvndi Creatione 6296, Indictione Vndecima, pijs & religiosis imperat: Constantino & eius matre Eirene.

urn:nbn:de:hbz:466:1-72021

Visual Library

# ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΝΙΚΑΙΑι ΠΑΤΕΡΩΝ ΣΥΝΕΛΘΟΝΤΩΝ ΤΩΝ ΤΟ ΔΕΥΤΕΡΟΝ, ΕΤΕΙ ϛσϟϛ ΤΗΣ ΤΟΥ ΚΟΣΜΟΥ ΚΤΙΣΕΩΣ, ΙΝδικτιόνος ἑνδεκάτης, εὐσεβῶς βασιλευόντων Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρός.

# CANONES PATRVM QVI SECVNDO NICEAE CONVENERVNT ANNO A MVNDI CREATIONE 6296, INDICTIONE VNdecima, pijs & religiosis imperat: Constantino & eius matre Eirene.

### Sacros canones in omnibus seruandos esse.

SAcerdotali dignitate præditis testimonia & correctione, descriptiones sunt canonicarū ordinationum, quas libenter suscipientes cū Dauide uate canimꝰ, Dn̄m Deū his uerbis alloquentes. In uia testimoniorū tuorū delectatus sum, sicut in omnibus diuitijs, & mādasti iustitiā testimonia tua in æternum. Instrue me & uiuifica me. Et prophetica uox præcipit nobis in æternū seruare testimonia Dei, & in illis uiuere quippe quę incōcussa & immota permanent. Quod & Moses qui Deum uidit, his uerbis ait: Illis nihil est addendū, & ab illis nihil est auferendū. Et diuinus apostolꝰ in illis glorians clamat: In quæ angeli inspicere desiderant: &, si angelꝰ aliter euangelizauerit uobis præter id quod accepistis, anathema sit. Quæ cum ita se habeāt & testata sint, nos perinde in illis exultantes atque aliquis qui opimam prædam nactus est, libenter confirmamus diuinos canones, & integrā ipsam ordinationem, ac immotā confirmatis etiā his quæ adiecta his sunt à tubis spūs sācti à benedictis apostolis, & sēper sex uniuersalibus concilijs, & ab à prouincialibus concilijs congregata sunt ad faciendas huiusmodi ordinationes, & à sanctis patribus nostris. Nam omnes ab uno & eodem spiritu illustrati, utilia decreuerunt. Quos igitur anathematizarūt etiam nos anathematizamus, & quos deposuerunt & nos deponimus, & quos segregarunt etiam nos segregamus, quos uerò illi mulctæ subiecerūt etiam nos eodē modo subijcimus. Nā diuinus apostolus Paulus qui tertium cœlum conscendit, & uerba ineffabilia audiuit, disertè clamat: Moribus estote ab pecuniæ studio alienis, contenti presentibus.

### 1 Ὅτι δεῖ τοὺς θείους κανόνας κατὰ πάντα φυλάττεσθαι.

ΤΟΙΣ τὴν ἱερατικὴν λαχοῦσιν ἀξίαν, μαρτύριά τε καὶ κατορθώματα αἱ τῶν κανονικῶν διατάξεών εἰσιν ὑποτυπώσεις· ἃς δεχόμενοι ἀσμένως, μετὰ τοῦ θεοφάντορος Δαβὶδ ᾄδομεν πρὸς τὸν δεσπότην θεὸν λέγοντες· ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ, καὶ ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με· καὶ ζήσομαι. καὶ εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὴ ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς δῆλον ἀκράδαντα καὶ ἀσάλευτα διαμένουσιν. ὅτι καὶ ὁ θεόπτης μωϋσῆς οὕτω φησίν. ἐν αὐτοῖς οὐκ ἔστιν προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφαιρεῖν. καὶ ὁ θεῖος ἀπόστολος ἐν αὐτοῖς ἐγκαυχώμενος βοᾷ· εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. καὶ εἰ ἄγγελος εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. τούτων οὖν οὕτως ὄντων διαμαρτυρομένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕροι σκῦλα πολλά, ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζώμεθα, καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευτον κρατυνομένων τῶν ἐκτεθέντων ὑπὸ τῶν σαλπίγγων τοῦ πνεύματος πανευφήμων ἀποστόλων τῶν τε ἓξ ἁγίων οἰκουμενικῶν συνόδων καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων διαταγμάτων, καὶ τῶν ἁγίων πατέρων ἡμῶν. ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ πνεύματος αὐγασθέντες, ὥρισαν τὰ συμφέροντα. καὶ οὓς μὲν τῷ ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ τῇ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν. ἀφιλάργυρος γὰρ ὁ τρόπος ἀρκούμενοι τοῖς παροῦσιν· ὁ βεβηκὼς εἰς τρίτον οὐρανόν, καὶ ἀκούσας ἄρρητα ῥήματα Παῦλος ὁ θεῖος ἀπόστολος διαρρήδην βοᾷ.

Ὅτι

Ὅτι δεῖ τὸν χειροτονούμενον ἐπίσκοπον ἀσφαλῶς συντάσσεσθαι τοὺς κανόνας φυλάττειν. εἰ δὲ μή γε, μὴ χειροτονεῖσθαι.

Ἐπειδήπερ ψάλλοντες συντασσόμεθα τῷ θεῷ, ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου. πάντας μὲν χριστιανοὺς τοῦτο φυλάττειν σωτήριον. κατ' ἐξαίρετον δὲ, τοὺς τὴν ἱερατικὴν ἀμπεχομένους ἀξίαν. ὅθεν ὁρίζομεν, πάντα τὸν προάγεσθαι μέλλοντα εἰς τὸν τῆς ἐπισκοπῆς βαθμόν, πάντως τὸ ψαλτήρα γινώσκειν, ἵνα ὡς ἐκ τούτου, καὶ πάντα τὸν κατ' αὐτὸν κλῆρον οὕτω νουθετῇ μυεῖσθαι. ἀνακρίνεσθαι δὲ ἀσφαλῶς ὑπὸ τοῦ μητροπολίτου, εἰ προθύμως ἔχει ἀναγινώσκειν ἐρευνητικῶς καὶ οὐ παροδευτικῶς τούς τε ἱεροὺς κανόνας, τὸ ἅγιον εὐαγγέλιον, τήν τε τοῦ θείου ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν γραφήν. καὶ κατὰ τὰ θεῖα ἐντάλματα ἀναστρέφεσθαι, καὶ διδάσκειν τὸν κατ' αὐτὸν λαόν. οὐσία γὰρ τῆς καθ' ἡμῶν ἱεραρχίας ἐστὶν, τὰ θεοπαράδοτα λόγια, ἤγουν ἡ τῶν θείων γραφῶν ἀληθινὴ ἐπιστήμη· καθὼς ὁ μέγας ἀπεφήνατο Διονύσιος. εἰ δὲ ἀμφισβητοίη καὶ μὴ ἀσμενίζει οὕτω ποιεῖν τε καὶ διδάσκειν, μὴ χειροτονείσθω· ἔφη γὰρ προφητικῶς ὁ θεός. σὺ ἐπίγνωσιν ἠπώσας. κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι.

Ὅτι οὐ δεῖ ἄρχοντας ψηφίζεσθαι ἐπισκόπους.

Πᾶσαν ψῆφον γινομένην παρὰ ἀρχόντων ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου, ἄκυρον μένειν κατὰ τὸν κανόνα τὸν λέγοντα· εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφοριζέσθω. καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες. δεῖ γὰρ τὸν μέλλοντα προβιβάζεσθαι εἰς ἐπισκοπὴν, ὑπὸ ἐπισκόπων ψηφίζεσθαι, καθὼς παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ὥρισται ἐν τῷ κανόνι τῷ λέγοντι· ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων καὶ συντιθεμένων διὰ γραμμάτων, καὶ τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων, δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

Περὶ τοῦ ἀπέχεσθαι τοὺς ἐπισκόπους πάσης δοσοληψίας.

Ὁ κήρυξ τῆς ἀληθείας Παῦλος ὁ θεῖος ἀπόστολος οἱονεὶ κανόνα τιθεὶς τοῖς Ἐφεσίων πρεσβυτέροις, μᾶλλον δὲ καὶ παντὶ ἱερατικῷ πληρώματι, οὕτως ἐπαῤῥησιάσατο εἰπών· ἀργυρίου ἢ χρυσίου, ἢ ἱματισμοῦ, οὐδενὸς ἐπεθύμησα. πάντα ὑπέδειξα ὑμῖν. ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μακάριον ἡγούμενοι τὸ διδόναι. διὸ καὶ ἡμεῖς παρ' αὐτοῦ μαθητευθέντες, ὁρίζομεν μὴ ὅλως αἰσχροκερδῶς, ἐπινοεῖσθαι ἐπίσκοπον.

2 Qui ordinandus est episcopus scripto certum faciat se canones seruaturũ, quòd si nõ fecerit non ordinetur.

Quoniam dum psalmos canimus Deo in hæc uerba promittimus, iustificationes tuas meditabor, nec obliuiscar uerborum tuorũ. omnium interesset Christianorum hoc seruare, præcipuè uerò eorum qui sacerdotali dignitate ornati sunt. Quamobrem decernimus, quemlibet quidem, qui ad episcopalem gradum est prouehendus, Psalterium omnino nosse, ut ex eo omnem quoque suum clericum ita initiari moneat. A Metropolitano autem bene examinari, an ad sacros canones diligenter ac cum perscrutatione, non autem cursim obiterq; legendos, prompto paratoq; sit animo, & sacrum etiam euangelium, & librum diuini Apostoli, omnemq; diuinã scripturam, & in diuinis præceptis uersari, & populum docere. Nostræ enim hierarchiæ substantia, sunt eloquia diuinitus tradita, diuinarum scilicet scripturarum uera scientia, sicut & Magnus Dionysius ostendit. Si quis autem dubius fuerit animi, & nõ lubenter hæc facere, & docere uoluerit, non ordinetur. Prophetice enim dicit Deus: Tu repulisti scientiam, & ego te repellam, ne sis mihi sacerdos.

3 Principes non eligant episcopos.

Omnem electionem quæ fit à magistratibus episcopi, uel presbyteri, uel diaconis, irritam manere ex canone dicente: Si quis episcopus magistratib9 secularib9 usus per eos ecclesiã obtinuerit, deponat & segrget, & oẽs qui cũ eo cõmunicãt. Oportet enim eum qui est ꝓmouẽdus ad episcopatũ, ab episcopis eligi, queadmodũ à sanctis patribus Nicææ decretũ est in canone qui ait. Episcopũ oportet ab oĩbus episcopis (si fieri potest) qui sunt in ꝓuincia eius, ordinari: si uerò hoc difficile fuerit: uel aliqua urgente necessitate, uel itineris lõgitudine, certè tres episcopi debẽt in unum esse cõgregrati, ita ut etiã cæterorũ qui absentes sunt cõsẽsum literis teneãt, & ita faciãt ordinationem. Potestas sane uel confirmatio pertinebit per singulas prouincias ad metropolitanum episcopum.

4 Episcop9 omniũ munerũ acceptiõe abstineat.

Præco ueritatis Paul9 quẽdã ueluti canonẽ Ephesiorũ presbyteris imponẽs, uel uniuersæ poti9 sacerdotali multitudini, sic liberè dixit: Argentũ uel aurũ uel uestẽ nullius cõcupiui, omnia uobis ostẽdi, quoniã oportet sic laborãtes infirmos acquirere, & apprehendere, dare beatũ existimantes. Quocirca nos ab eo edocti statuimus ne turpis lucri gratia antistiti in men-

in mentem ueníat quærenti excuſationes in peccatis aurum, uel argentum, uel ullam alia ſpeciem ab ijs qui ſibi ſubſunt epiſcopis uel clericis uel monachis exigere. Dicit enim Apoſtolus: Non debent liberi parentibus theſaurum parare, ſed parentes liberis. Si quis ergo per auri exactionē, uel alicuius alterius ſpeciei, uel propter aliquam propriam affectionem à miniſterio arcere inuentus fuerit, uel ſegregare ſuorum clericorum aliquem, uel uenerandum templum claudere, ne in eo fiant diuina myſteria ſuum furorem inſenſibilibus intentans, ipſe quoque uerè eſt inſenſibilis, & talioni ſubiacebit, & labor ac dolor eius in caput ipſius conuertetur, quoniam trāſgreſſor eſt mandati diuini & apoſtolicarum ordinationum. Petrus enim apoſtolorum ſummus præcipit. Paſcite gregem Dei qui penes uos eſt, curam illius agentes non coactè, ſed libenter ſecundum Deum: nō turpiter affectantes lucrum ſed prompto animo. Neq; ut dominātes cleris, ſed ut qui ſitis exemplaria gregis. Et cū apparuerit ille paſtorum princeps reportabitis immarceſsibilem illam gloriæ coronā.

Qui clericis exprobrant quod abſq; munenerib⁹ in eccleſia ordinati ſint, pœnę ſubiacēt 4

Peccatū ad mortē eſt quoties illi qui peccāt inemēdabiles manent, ſed peius eſt qñ ſuperbiētes contra pietatē & ueritatē inſurgūt, ac mamona obediētiæ Dei anteponūt, ac ei⁹ canonicas ordinationes nō amplectunt. In illis nō eſt Dñs De⁹, ſi nōdū humiliati à ſuo peccato reſipuerūt. Oportet enim eos potius ad Deū accedere, & remiſsionē ac ueniā peccati cōtrito corde petere, nō gloriari ꝓpter illicitas donationes. Dñs enim in ꝓpinquo eſt cōtritis corde. Itaq; eos qui gloriant ſe ꝓpter auri largitionē in eccleſia ordinatos eſſe & ſpenitunt huic prauę cōſuetudini, q̄ à Deo & omni re ſacra dignitate aliena eſt: & deinceps impudēti facie, & ore effreni cōtumelioſis uerbis ignominia afficiūt illos qui ꝓpter uitę uirtutē à ſpū ſancto electi & ordinati ſunt abſq; omni auri largitione: hi igit qui talia faciunt, primū accipiant ultimū gradum ſui ordinis, ſi autem perſeuerauerint pœna emēdentur. Si uerò manifeſtū fuerit in ordinatione aliquē talia facere, tū fiat ſecundū apoſtolicū canonē qui dicit: Si quis epiſcopus huiuſce dignitatis compos fuerit pecunia factus, aut preſbyter, aut diaconus deponitor & ipſe & qui manus impoſuit, ac penitus abſcindatur à cōſortio ut Simon Magus à me Petro. Similiter etiam iuxta ſecundum canonem ſanctorum patrum qui in Chalcedone conuenerūt, qui

προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις, ἀπαιτεῖν χρυσὸν ἢ ἄργυρον, ἢ ἕτερον εἶδος τοὺς ὑπ' αὐτὸν τελοῦντας ἐπισκόπους, ἢ κληρικοὺς ἢ μοναχούς. φησὶν γὰρ ὁ ἀπόστολος· ἄδικοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν· καὶ οὐκ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσιν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις. εἴ τις οὖν δι' ἀπαίτησιν χρυσοῦ, ἢ ἑτέρου τινὸς εἴδους, εἴτε διά τινα ἰδίαν ἀπάθειαν εὑρεθείη ἀπείργων τῆς λειτουργίας, καὶ ἀφορίζων τινὰ τῶν ὑπ' αὐτοῦ κληρικῶν, ἢ σεπτὸν ναὸν κλείων, μὴ γίνεσθαι ἐν αὐτῷ τὰς τοῦ θεοῦ λειτουργίας, εἰς ἀναίσθητα τὴν ἑαυτοῦ μανίαν ἐπιπέμπων, ἀναίσθητος ὄντως ἐστὶν, καὶ τῇ τοιαύτῃ παθείᾳ ὑποκείσεται, καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, ὡς παραβάτης ἐντολῆς θεοῦ καὶ τῶν ἀποστολικῶν διατάξεων· παραγγέλλει γὰρ καὶ Πέτρος ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης· ποιμαίνεται τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως κατὰ θεόν· μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μὴ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου. καὶ φανερωθέντες παρὰ τοῦ ἀρχιποιμένος κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον.

Ὅτι οἱ ὀνειδίζοντες τοὺς κληρικοὺς, διὰ τὸ πετάχθαι ἐν ἐκκλησίᾳ χωρὶς δοσίων, ἐπιτιμίῳ ὑπόκεινται.

Ἁμαρτία πρὸς θάνατόν ἐστιν, ὅτ' ἄν τινες ἁμαρτάνοντες, ἀδιόρθωτοι μένωσιν. τὸ δὲ τούτου χεῖρον, ἐὰν τραχηλιῶντες κατεξανίστανται τῆς εὐσεβείας καὶ τῆς ἀληθείας, καὶ προτιμώμενοι τὸν μαμωνᾶ τῆς τοῦ θεοῦ ὑπακοῆς, καὶ τῶν κανονικῶν αὐτοῦ διατάξεων μὴ ἀντεχόμενοι· ἐν τούτοις οὐκ ἔστιν κύριος ὁ θεὸς, εἰ μή πω ταπεινωθέντες, τοῦ ἰδίου σφάλματος ἀνανήψωσι· χρὴ γὰρ μᾶλλον αὐτοῖς προσέρχεσθαι τῷ θεῷ, καὶ μετὰ συντετριμμένης καρδίας τὴν ἄφεσιν τούτου τοῦ ἁμαρτήματος καὶ τὴν συγχώρησιν αἰτεῖσθαι, οὐκ ἐναβρύνεσθαι τῇ ἀθέσμῳ δόσει· ἐγγὺς γὰρ κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ· τοὺς ἐγκαυχωμένους οὖν, διὰ δόσεως χρυσίου τετάχθαι ἐν ἐκκλησίᾳ, καὶ ταύτῃ τῇ πονηρᾷ συνηθείᾳ ἐπελπίζοντας τῇ ἀλλοτριούσῃ ἀπὸ τοῦ θεοῦ καὶ ἐκ πάσης ἱερωσύνης· καὶ ἐκ τούτου, ἀναιδεῖ προσώπῳ καὶ ἀπερικαλύπτῳ στόματι ὀνειδιστικοῖς λόγοις τοὺς δι' ἀρετὴν βίου ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκλεγέντας καὶ καταταγέντας ἐκτὸς δόσεως χρυσίου ἀτιμάζοντας· πρῶτα μὲν τοὺς τοιούτους, τὸν ἔσχατον βαθμὸν λαμβάνειν τοῦ οἰκείου τάγματος· εἰ δὲ ἐπιμένοιεν, δι' ἐπιτιμίου διορθοῦσθαι· εἰ δέ τις ἐπὶ χειροτονίᾳ φανῇ ποτε τοῦτο πεποιηκὼς, γινέσθω κατὰ τὸν ἀποστολικὸν κανόνα τὸν λέγοντα· εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασι ἐκ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου· ὡσαύτως καὶ κατὰ τὸν δεύτερον κανόνα τὸν Χαλκηδόνι ὁσίων πατέρων ἡμῶν τὸν λέγοντα·

λέγοντα· εἴ τις ἐπίσκοπος διὰ χρημάτων χειροτονίαν ποιήσοιτο, καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι διὰ χρημάτων ἐπίσκοπον ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον ἢ διάκονον, ἢ τινὰ τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων, ἢ προβάλλοιτο διὰ χρημάτων οἰκονόμον, ἢ ἔκδικον ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος, δι' αἰσχροκέρδειαν οἰκείαν, ὁ τοῦτο ἐπιχειρήσας ἐλεγχθείς, κινδυνευέτω εἰς τὸν ἴδιον βαθμόν. καὶ ὁ χειροτονούμενος, μηδὲν ἐκ τῆς κατ' ἐμπορείαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τοῦ φροντίσματος ἢ τῆς ἀξίας, ὅπερ διὰ χρημάτων ἔτυχεν. εἰ δέ τις καὶ μεσιτεύων φανείη, ἢ τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος εἰ μὲν κληρικὸς εἴη, ἐκ τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ. εἰ δὲ λαϊκὸς ἢ μοναχός, ἀφοριζέσθω.

Περὶ τοῦ γίνεσθαι τοπικὴν σύνοδον κατὰ χρόνον.

6 Ἐπειδήπερ κανὼν οὗτος ὁ λέγων, δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν χρὴ γίνεσθαι διὰ συναθροίσεως ἐπισκόπων τὰς κανονικὰς ζητήσεις. διὰ οὖν τὴν συντριβὴν καὶ τὸ ἐνδεῶς ἔχειν πρὸς ὁδοιπορίαν τοὺς συναθροιζομένους, ὥρισαν οἱ ἐκ τῆς ἕκτης συνόδου ὅσιοι πατέρες, ἐξ ἅπαντος τρόπου καὶ προφάσεως, ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι, καὶ τὰ ἐσφαλμένα διορθοῦσθαι. τοῦτον οὖν τὸν κανόνα καὶ ἡμεῖς ἀνανεοῦμεν, καὶ εἴ τις εὑρεθῇ ἄρχων τοῦτο κωλύων, ἀφοριζέσθω· εἰ δέ τις ἐκ τῶν μητροπολιτῶν ἀμελήσοι τοῦτο γίνεσθαι ἐκτὸς ἀνάγκης καὶ βίας καί τινος εὐλόγου προφάσεως, τοῖς κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω. τῆς δὲ συνόδου γινομένης περὶ κανονικῶν καὶ εὐαγγελικῶν πραγμάτων, δεῖ τοῖς συναθροισθεῖσιν ἐπισκόποις ἐν μελέτῃ καὶ φροντίδι γίνεσθαι τὰς θείας καὶ ζωοποιοὺς ἐντολὰς τοῦ θεοῦ· ἐν γὰρ τῷ φυλάσσεσθαι αὐτὰς ἀνταπόδοσις πολλή, ὅτι καὶ λύχνος ἐντολή, νόμος δὲ φῶς καὶ ὁδὸς ζωῆς, ἔλεγχος καὶ παιδεία· καὶ ἡ ἐντολὴ κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς. μὴ ἔχειν δὲ ἄδειαν τὸν μητροπολίτην, ἐξ ὧν ἐπιφέρεται ὁ ἐπίσκοπος μετ' αὐτοῦ, ἢ κτῆνος ἢ ἕτερον εἶδος ἀπαιτεῖν· εἰ δὲ τοῦτο ἐλεγχθῇ, ἀποτίσει τετραπλάσιον.

7 Οἱ τοὺς ἐγκαινισθέντας ναοὺς ἐκτὸς καταθέσεως ἁγίων λειψάνων δέον ἀναπληρωθῆναι.

Ἔφη Παῦλος ὁ θεῖος ἀπόστολος· τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι. τισὶ δὲ καὶ ἐπακολουθοῦσιν. ἁμαρτιῶν, οὖν προκαταλαμβανουσῶν, καὶ ἕτεραι ἁμαρτίαι ἕπονται ταύταις. τῇ οὖν ἀσεβεῖ αἱρέσει τῶν χριστιανοκατηγόρων, καὶ ἄλλα ἀσεβήματα συνηκολούθησαν· ὥσπερ γὰρ τὴν τῶν σεπτῶν εἰκόνων ὄψιν ἀφεῖλον ἐκ τῆς ἐκκλησίας, καὶ ἕτερα τινὰ ἔθη παραλελοίπασιν, ἃ χρὴ ἀνανεωθῆναι, καὶ κατὰ τὴν ἔγγραφον καὶ ἄγραφον θεσμοθεσίαν οὕτως κρατεῖν. ὅσοι οὖν σεπτοὶ ναοὶ καθιερώθησαν ἐκτὸς ἁγίων λειψάνων μαρτύρων, ὁρίζομεν αὐτοῖς κατάθεσιν γίνεσθαι λειψάνων.

ait. Si quis episcoporũ accepta pecunia ordinationẽ fecerit, & sub preciũ redegerit spirit⁹ sancti gratiã q̃ uẽdi nõ potest, ordinaueritq́ per pecuniã episcopũ siue chorepiscopũ, uel presbyterũ, uel diaconũ, uel quẽlibet de his q̃ cognominãtur in clero, aut promouerit accepta pecunia œconomũ, aut defensorẽ siue paramonariũ, uel quẽlibet qui subiect⁹ est regulæ, ꝓ sui turpissimi lucri commodo, qui hoc attentare probatus fuerit, proprij gradus periculo subiacebit: & qui ordinatus est nihil ex hac ordinatione uel promotione quæ est pro negotiatione facta, proficiat, sed sit alienus à dignitate uel solicitudine quàm pecunijs acquisiuit. Si quis uerò tam turpibus & illicitis datis intercessor extiterit, siquidem clericus fuerit de proprio gradu decidat si uerò laicus aut monachus fuerit segregetur.

6 Prouincialis synodus fiat cõstituto tẽpore.

Quandoquidẽ canone quodã præcipitur ut quotãnis bis in singulis prouincijs canonicè inquisitiones fiãt in cõgregatiõe episcoporũ, uerũ quia illi qui cõuocandi sunt multum tẽporis cõterũt & pauperes sunt ad iter faciẽdũ, statuerũt sancti patres in sexta synodo, ut omni modo & occasione semel in anno hoc fiat, & uitia emẽdent: nos igit̃ hũc canonẽ renouamus, quod si princeps aliquis fortè fuerit qui hoc prohibeat, segreget̃. Si autẽ aliquis metropolitan⁹ hæc facere neglexerit, absq́ necessitate, aut ui, aut aliqua causa rationabili, subiaceat pœnis canonicis. Synodo uerò cõuocata de canonicis & euãgelicis causis episcopi diuina & uiuifica Dei præcepta meditẽtur ac curẽt, magna enim retributio est si obseruent: qm̃ præceptũ est lucerna, & lex est lumẽ & uia uitæ, redargutio & institutio, & mãdatũ dñi lucidũ illuminãs oculos. Metropolitano aũt nõ liceat petere ab ep̃o iumẽtũ, aut aliud q̃cq̃ quã ex illis q̃ secũ attulerit: si autẽ hac de re cõuictus fuerit quadruplum persoluat.

7 Templa consecrata absq́ depositione sanctarum reliquiarum, repleri oportet.

Quorundã hominũ peccata diuinus apostolus Paul⁹ manifesta esse inquit, quædã uerò ipsos cõsequi. Peccata igit̃ præcedẽtia etiã alia peccata sequunt̃. Impiã itaq́ heresim eorũ qui Christianos accusant, etiã alię impietates cõsecutę sunt. Nã qui uenerabiliũ imaginum aspectũ ex ecclesia sustulerũt, alios quoq́ mores reliquerunt, quos quidẽ oporteat renouari, & tã ex iure scripto q̃ nõ scripto sic obseruari. Quęcũq́ ergo templa cõsecrata sunt absq́ reliquijs martyrum in eis fieri statuimus reliquiarũ dispositionẽ cum consuetis precib⁹.

Qui autem templum consecrauerit sine sanctis reliquijs, deponatur, ut transgressus ecclesiasticas traditiones.

Hebræi non suscipiantur nisi syncero corde conuersi fuerint. 8

Quoniam Hebræorum religionis quidam errantes Christum Deum nostrum subsannare uisi sunt sese Christianos esse fingentes, ipsi autem clanculum eum negantes, sabbata obseruantes, & multa alia Iudaica facientes: statuimus, ut nec ad communionem, nec ad orationem, nec ad ecclesiam admittantur, sed apertè sint secundum suam religionem Hebræi: & nec filios eorum baptizent, nec seruum emant, uel possideant. Si autem ex pura & syncera fide quis eorum conuertatur, & ex toto corde confessus fuerit de eorum moribus & rebus quasi triumphans, ad alios redarguendos & emendandos eum recipiant, & baptizent eius filios, & caueant ipsi se ab Hebræorū studijs, & īstitutis destituturos. Si autē nō ita se gerant, eos nullo admittāt modo.

Libros hæresis accusatricis Christianorum nemo occultet. 9

Puerilia omnia ludibria, furiosaq; dicta ac scripta, quæ aduersus sanctas imagines ædita sunt, oportet dari episcopo Constantinopolitano ut cum reliquis hæreticis libris reponātur. Si quis autem hæc celare inuentus fuerit, si sit episcopus, uel presbyter, uel diacon⁹, deponatur: si autē laicus aut monachus, segreget.

Clericus non deserat suam parœciam ignorante episcopo, & aliò perueniat. 10

Quoniam quidam clerici canonicam ordinationem dolosè transgredientes deserunt suas parœcias in alias excurrunt, & maximè in hac regia ac Dei cultrice urbe, & in primates promouentur, sacra celebrantes in oratorijs suis. Tales absque sui & Constantinopolitani episcopi permissione in nulla domo aut ecclesia suscipere licet. Qui autem hoc fecerit, si perseuerat deponatur. Qui autem hæc faciunt consensu nominatorum sacerdotum, illis non licet mundanas & huius uitæ curas resumere, sicut sacris canonibus hæc facere uetatur. Si autem aliquis eorum qui magni nominis sunt deprehensus fuerit, curam habere, aut cesset, aut deponatur. Maximè si ad institutionem puerorum & seruorum destinatus est, is qui sacerdotalem dignitatem agnoscit.

Dispensatores esse oportet in episcopi taberna & monasterijs. 11

Qm̄ oēs sacros canones seruare debem⁹, etiā eū qui iubet esse dispēsatores in singulis eccle

ὁ δὲ ἄνευ ἁγίων λειψάνων καθιερῶν ναόν, καθαιρείσθω, ὡς παραβεβηκὼς τὰς ἐκκλησιαστικὰς παραδόσεις.

8 Ὅτι τοὺς Ἑβραίους οὐ χρὴ δέχεσθαι, εἰ μή τινες ἐξ εἰλικρινοῦς καρδίας ἐπιστρέψωσιν.

Ἐπειδὴ πλανώμενοι ἐκ τῆς τῶν Ἑβραίων θρησκείας, μυκτηρίζειν ἔδοξαν Χριστὸν τὸν θεόν, προσποιούμενοι χριστιανίζειν. αὐτὸν δὲ ἀρνούμενοι κρυβδην καὶ λαθραίως, σαββατίζοντες καὶ ἕτερα ἰουδαϊκὰ ποιοῦντες. ὁρίζομεν τούτους μήτε εἰς κοινωνίαν μήτε εἰς εὐχὴν, μήτε εἰς ἐκκλησίαν δέχεσθαι. ἀλλὰ φανερῶς εἶναι κατὰ τὴν ἑαυτῶν θρησκείαν Ἑβραίους· μήτε τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε δοῦλον ὠνεῖσθαι ἢ κτᾶσθαι. εἰ δὲ ἐπιστρέψει τις αὐτῶν καὶ ὁμολογήσει ἐξ ὅλης καρδίας θριαμβεύων τὰ κατ' αὐτῶν ἔθη καὶ πράγματα, πρὸς τὸ καὶ ἄλλους ἐλεγχθῆναι καὶ διορθοῦσθαι· τοῦτον προσδέχεσθαι καὶ βαπτίζειν τοὺς παῖδας αὐτοῦ, καὶ ἀσφαλίζεσθαι αὐτοὺς τῶν Ἑβραϊκῶν ἐπιτηδευμάτων· εἰ δὲ μὴ οὕτως ἔχοιεν, μηδαμῶς αὐτοὺς προσδέχεσθαι.

9 Περὶ τοῦ, μὴ κρύπτειν τινὰ τῆς χριστιανοκατηγορικῆς αἱρέσεως βιβλίον.

Πάντα τὰ μειρακιώδη ἀθύρματα, καὶ μανιώδη βακχεύματα, τὰ ψευδοσυγγράμματα, τὰ κατὰ τῶν σεπτῶν εἰκόνων γενόμενα, δέον δοθῆναι ἐν τῷ ἐπισκοπείῳ Κωνσταντινουπόλεως· ἵνα ἀποτεθῶσιν μετὰ τῶν λοιπῶν αἱρετικῶν βιβλίων· εἰ δέ τις εὑρεθείη ταῦτα κρύπτων, εἰ μὲν ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος εἴη, καθαιρείσθω. εἰ δὲ λαϊκὸς ἢ μοναχός, ἀφοριζέσθω.

10 Ὅτι οὐ δεῖ κληρικὸν ἀπολείπειν τὴν ἑαυτοῦ παροικίαν, καὶ ἑτέρᾳ ἀφικνεῖσθαι χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου.

Ἐπειδή τινες τῶν κληρικῶν παραλογιζόμενοι τὴν κανονικὴν διάταξιν, ἀπολιπόντες τὴν ἑαυτῶν παροικίαν, εἰς ἑτέραν παροικίαν ἐκτρέχουσιν, ἐπὶ πλεῖστον δὲ ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, καὶ εἰς ἄρχοντας προσεδρεύουσιν, ἐν τοῖς αὐτῶν εὐκτηρίοις τὰς λειτουργίας ποιοῦντες. τούτους οὖν χωρὶς τοῦ ἰδίου ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως οὐκ ἔξεστιν δεχθῆναι ἐν οἱῳδήποτε οἴκῳ ἢ ἐκκλησίᾳ. εἰ δὲ τοῦτο ποιήσει ἐπιμενων, καθαιρείσθω· ὅσοι μετ' εἰδήσεως τῶν προλεχθέντων ἱερέων τοῦτο ποιοῦσιν, οὐκ ἔξεστιν αὐτοῖς κοσμικὰς καὶ βιωτικὰς φροντίδας ἀναλαμβάνεσθαι, ὡς κεκωλῦσθαι τοῦτο ποιεῖν παρὰ τῶν θείων κανόνων· εἰ δέ τις φωραθείη τῶν λεγομένων μειζοτέρων τὴν φροντίδα ἐπέχων, ἢ παυσάσθω, ἢ καθαιρείσθω· μᾶλλον μὲν οὖν, εἰ πρὸς διδασκαλίαν τῶν τε παίδων καὶ τῶν οἰκετῶν ἐπαναγινώσκων τὴν ἱερωσύνην ἐκληρώσατο.

11 Ὅτι δεῖ οἰκονόμους εἶναι ἐν τοῖς ἐπισκοπείοις καὶ τοῖς μοναστηρίοις.

Ὑπόχρεοι ὄντες πάντας τοὺς θείους κανόνας φυλάττειν, καὶ τὸν λέγοντα οἰκονόμους εἶναι ἐν ἑκάστῃ ἐκκλη-

κλησίᾳ, παντὶ τρόπῳ ἀπαράτρεπτον διατηρεῖν ὀ-
φείλομεν. καὶ εἰ μὲν ἕκαστος μητροπολίτης ἐν τῇ ἐκ-
κλησίᾳ αὐτοῦ καθιστᾷ οἰκονόμον, καλῶς ἂν ἔχοι. εἰ δὲ
μή γε, ἐξ αὐθεντείας ἰδίας τῷ Κωνσταντινουπόλεως
ἐπισκόπῳ ἄδειά ἐστι προχειρίζεσθαι οἰκονόμον ἐν τῇ
αὐτοῦ ἐκκλησίᾳ. ὡσαύτως καὶ τοῖς μητροπολίταις
ἐὰν οἱ ὑπ' αὐτοὺς ἐπίσκοποι οὐ προαιροῦνται οἰκονόμους
ἐγκαταστῆσαι ἐν ταῖς ἑαυτῶν ἐκκλησίαις. τὸ αὐτὸ
δὲ φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναστηρίων.

Ὅτι οὐ δεῖ ἐκποιεῖσθαι ἐπίσκοπον ἢ ἡγούμενον ἐκ
τῶν προαστείων τῆς ἐκκλησίας.

Εἴ τις ἐπίσκοπος εὑρεθείη ἢ ἡγούμενος ἐκ τῶν
αὐτουργιῶν τοῦ ἐπισκοπείου ἢ τοῦ μοναστηρίου ἐκποι-
ούμενος εἰς ἀρχοντικὴν χεῖρα, ἢ ἑτέρῳ προσώπῳ ἐκ-
διδούς, ἄκυρον εἶναι τὴν ἔκδοσιν, κατὰ τὸν κανόνα τῶν
ἁγίων ἀποστόλων τὸν λέγοντα. πάντων τῶν ἐκκλη-
σιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν
φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς θεοῦ ἐφορῶντος.
μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ
συγγενέσιν ἰδίοις τὰ τοῦ θεοῦ χαρίζεσθαι· εἰ δὲ πένη-
τες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προ-
φάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω· εἰ δὲ
προφασίζοιντο ζημίαν ἐμποιεῖν, καὶ μηδὲν πρὸς ὠνὴν
συντυγχάνειν τὸν ἀγρόν, μηδ' οὕτω τοῖς κατὰ τόπον
ἄρχουσιν ἐκδιδόναι τὸν τόπον, ἀλλὰ κληρικοῖς ἢ γε-
ωργοῖς· εἰ δὲ πανουργίᾳ πονηρᾷ χρήσοιντο, καὶ ἐκ
τοῦ κληρικοῦ ἢ τοῦ γεωργοῦ ὠνήσηται ὁ ἄρχων, τὸν ἀ-
γρὸν οὕτως ἄκυρον εἶναι τὴν πρᾶσιν, καὶ ἀποκαθίστα-
σθαι ἐν τῷ ἐπισκοπείῳ ἢ ἐν τῷ μοναστηρίῳ. καὶ ἐ-
πίσκοπος ἢ ἡγούμενος τὸ τοιοῦτον ποιῶν, ἐκδιωχθήτω·
ὁ μὲν ἐπίσκοπος, τοῦ ἐπισκοπείου· ὁ δὲ ἡγούμενος,
τοῦ μοναστηρίου· ὡς διασκορπίζοντες κακῶς, ἃ οὐ συν-
ήγαγον.

Ὅτι μεγάλης κατακρίσεως ἄξιοί εἰσιν οἱ
τὰ μοναστήρια κοινοῦντες.

Ἐπειδὴ διὰ τὴν γενομένην κατὰ τὰς ἁμαρτίας
ἡμῶν συμφορὰν ἐν ταῖς ἐκκλησίαις, καθηρπάγη-
σάν τινες οἶκοι εὐαγεῖς ὑπό τινων ἀνδρῶν ἐπισκο-
πεῖά τε καὶ μοναστήρια, καὶ ἐγένοντο κοινὰ κατα-
γώγια· εἰ μὲν οἱ διακρατοῦντες ταῦτα προαιροῦνται
ἐκδιδόναι, ἵνα κατὰ τὸ ἀρχαῖον ἀποκατασταθῶσιν,
εὖ καὶ καλῶς ἔχει· εἰ δὲ μή γε, εἰ μὲν τοῦ καταλόγου
τοῦ ἱερατικοῦ εἰσί, τούτους καθαιρεῖσθαι προστάσσο-
μεν· εἰ δὲ μοναχοὶ ἢ λαϊκοί, ἀφορίζεσθαι· ὡς ὄντας κα-
τακρίτους ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου
πνεύματος· καὶ τετάχθωσαν, ὅπου ὁ σκώληξ οὐ τε-
λευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. ὅτι τῇ τοῦ κυρίου
φωνῇ ἐναντιοῦνται τῇ λεγούσῃ. μὴ ποιεῖτε τὸν οἶ-
κον τοῦ πατρός μου, οἶκον ἐμπορίου.

Ὅτι οὐ χρὴ ἐκτὸς χειροθεσίας ἀναγινώσκειν
ἐν τῇ συνάξει ἐπὶ ἄμβωνος.

ΟΤΙ τάξις ἐμπολιτεύεται ἐν ἱερωσύνῃ

fijs omnino illæſum & inuiolatum ſeruare o-
portet. Si igitur quilibet metropolitanus œ-
conomum in ſua eccleſia conſtituit, bene ha-
bet: ſin minus, tum Conſtātinopolitanus epi-
ſcopꝰ pro ſua poteſtate facultatem habet or-
dinandi diſpenſatorem in eius eccleſia. Simi-
lem poteſtatem habent metropolitę ſi epiſco
pi qui ſub ipſis ſunt non ante elegerint diſpē-
ſatores in ſuis eccleſijs, cōſtituere. Hoc idem
& circa monaſteria ſeruetur.

12 Epiſcopum aut præſidem non oportet alie
nare ſuburbana eccleſiæ

Si epiſcopus aut præſes prædia quæ ab ip
ſo epiſcopio monaſterio coluntur emancipa
uerit uel ad manus principales, uel alteri per-
ſonæ, eius erogatio ſit irrita, ſecundum apo-
ſtolorum canonem qui ait: Omnium eccleſia
ſticarum rerum curam gerat epiſcopus, & eas
uelut obſeruante Deo gubernet. Nec ſibi ta-
men uendicare liceat ex ipſis aliquid, reſue
Dei proprijs ſanguineis donare. Quod ſi pau
peres hi ſint, ut pauperibꝰ præbeat. Sed eccle-
ſiaſtica nō diſtrahat nec diſſipet illorum cau-
ſa. Si autem cauſati fuerint damnum afferre
agrúmque & minus uendibilem eſſe, tamē ne
tum quidem eius loci principibus locum e-
mancipent ſed clericis aut agricolis. Si autem
dolo malo uſi fuerint & princeps agrum à cle
rico uel agricola emerit uenditio erit irrita, &
reſtituatur epiſcopio, aut monaſterio. Epiſco
pus uerò aut præſes qui hoc fecerunt eijcian-
tur, ille quidem epiſcopatu, hic uerò mona-
ſterio, quòd ea malè diſſipant, quæ ipſi non
congregarunt.

13 Grauem damnationem merentur qui mo-
naſteria publicant.

Quoniam per eam calamitatem eccleſiæ
quæ propter peccata noſtra accidit, à quibuſ
dam ſacræ quædam ædes & epiſcopia ac mo-
naſteria direpta ſunt, & facta ſunt publica di-
uerſoria, ſi hi qui ea poſſident reddere uolūt
ut in antiquum uſum reſtituantur, bene ſe res
habet. Si autem hoc facere noluerint, ſi ſunt
ex numero ſacerdotum, deponantur, ſi mo-
nachi aut laici, ſegregentur, & ſortiantur lo-
cum ubi uermis non moritur, & ignis non ex
tinguitur: quoniam aduerſantur diuinæ uoci
quæ ait, ne faciatis ex domo patris mei, do-
mum mercatus.

14 Non legatur de cathedra ſuperiori in com
munione, abſq; impoſitione manuum.

Ordinē dominari in omni ſacra functione

manifestum eſt, diligẽtiamq́ꝫ ſeruari in actionibus ſacræ functionis Deo placet. Quoniam igitur uidemus quoſdam abſq́ꝫ manuum impoſitione à pueris tonſurã cleri accipere, quibus nondum ab epiſcopo manus impoſitæ ſunt, & in communione de cathedra ſuperiori legere, & hoc contra canones facientes: mãdamus igitur ut hoc poſthac non fiat, & hoc idem obſeruetur circa monachos. Facultatem autem imponendi manus lectoribus ſolus præſes in ſuo monaſterio habeat, ſiquidẽ illi ab epiſcopo qui primatum obtinet man⁹ ante impoſitæ ſunt, ut manifeſtum ſit eum eſſe presbyterũ. Similiter & ex antiqua conſuetudine corepiſcopos, epiſcopi ꝑmiſſũ, oportet per manuũ impoſitionẽ lectores creare.

15 Ne aliquis clericus in duabus collocetur eccleſijs.

Clericus ab hoc deinceps tempore in duabus eccleſijs non collocetur: hoc enim eſt negociationis & turpis lucri propriũ, & ab eccleſiaſtica conſuetudine alienum. Ab ipſa enim Domini uoce audiuimus non poſſe quẽ quã duobus dominis ſeruire, aut enim unum odio habebit & alterũ diliget, aut unũ amplectetur, & alterũ negliget. Vnuſquiſq́ꝫ ergo (ut uox eſt Apoſtolica) in eo in quo uocat⁹ eſt, debet manere, & in una eccleſia aſsidere. Quę enim propter turpe lucrũ fiunt in eccleſiaſticis negotijs, ea à Deo ſunt aliena. Ad hui⁹ autem uitæ uſum ſunt diuerſa ſtudia ex his ergo ſi quis uelit, ea quæ ſunt corpori ad uſum neceſſaria, cõparet. Dixit Apoſtolus, Vſui meo, & his qui mecum ſunt ſubminiſtrauerũt manus meæ. Et hæc quidem in hac regia ciuitate, in his autem qui extra ſunt locis, propter hominum inopiam permittitur.

16 Ne inſignem ueſtem induat clericus.

Omnis mollities ornat⁹ corporis eſt à ſacerdotali ordine alien⁹. Epiſcopos ergo uel clericos qui ſe ſplẽdidis & inſignib⁹ ueſtibus exornãt corrigere oportet. Sin aũt permaneãt, ſupplicio tradi, ſimiliter & eos qui ſunt unguẽtis delibuti. Q̃m uerò radix amaritudinis ſurſum enaſcẽs, piaculũ catholicę eccleſię facta eſt nẽpe hæreſis Chriſtianorũ accuſatrix, & qui eã amplectunt, nõ ſolũ imaginũ picturas abominãtur uerũ etiã omnẽ pietatẽ reiecerũt, odio habẽtes eos qui reuerẽter & piè uiuũt, & in illis perficit ꝙ ſcriptũ eſt, pietas eſt abominatio peccatoribus. Et ſi inuẽti fuerint aliqui q eos qui uilẽ & modeſtũ amictum induti ſunt, irrideãt, pœna corrigant: à ſuperiorib⁹ enim uſq́ꝫ temporibus, omnis uir ſacerdotalis commoderato & honeſto indumento uerſatur.

πᾶσι, ἀρίδηλόν ἐστι, καὶ ἀκρίβειαν διατηρεῖν τὰς τῆς ἱερωσύνης ἐγχειρήσεις θεῷ εὐάρεστον· καὶ ἐπειδὴ ὁρῶμεν ἐκτὸς χειροθεσίας νηπιόθεν τὴν κουρὰν τοῦ κλήρου λαμβάνοντάς τινας, μήπω δὲ παρὰ τοῦ ἐπισκόπου χειροθεσίαν λαβόντας, καὶ ἀναγινώσκοντας ἐν τῇ συνάξει ἐπ' ἄμβωνος, ἀκανονίστως τοῦτο ποιοῦντας· ἐπιτρέπομεν ἀπὸ τοῦ παρόντος τοῦτο μὴ γίνεσθαι· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναχῶν. ἀναγνώστου δὲ χειροθεσίαν ἄδεια ἐστὶν ἐν ἰδίῳ μοναστηρίῳ καὶ μόνῳ ἑκάστῳ ἡγουμένῳ ποιεῖν, εἰ αὐτῷ τῷ ἡγουμένῳ ἐπετέθη χειροθεσία παρὰ ἐπισκόπου πρὸς προεδρίαν ἡγουμένου, δῆλον ὄντος αὐτοῦ πρεσβυτέρου. ὡσαύτως καὶ κατὰ τὸ ἀρχαῖον ἔθος τοὺς χωρεπισκόπους κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου δεῖ προχειρίζεσθαι ἀναγνώστας.

Ὅτι οὐ δεῖ κληρικὸν ἐν δυσὶν ἐκκλησίαις κατατάττεσθαι.

Κληρικὸς ἀπὸ τοῦ παρόντος μὴ κατατάττεσθω ἐν δυσὶν ἐκκλησίαις· ἐμπορίας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τοῦτο, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνηθείας. ἠκούσαμεν γὰρ ἐξ αὐτῆς τῆς κυριακῆς φωνῆς, ὅτι οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει. ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· ἕκαστος οὖν κατὰ τὴν ἀποστολικὴν φωνήν, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ ὀφείλει μένειν καὶ προσεδρεύειν ἐν μιᾷ ἐκκλησίᾳ· τὰ γὰρ δι' αἰσχροκέρδειαν γινόμενα ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἀλλότρια τοῦ θεοῦ καθεστήκασι. πρὸς δὲ τὴν τοῦ βίου τούτου χρείαν ἐπιτηδεύματά εἰσι διάφορα· ἐξ αὐτῶν, εἴ τις βούλοιτο, τὰ χρειώδη τοῦ σώματος ποριζέσθω. ἔφη γὰρ ὁ ἀπόστολος· ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται. καὶ ταῦτα μὲν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει· ἐν δὲ τοῖς ἔξω χωρίοις, διὰ τὴν ἔλλειψιν τῶν ἀνθρώπων παραχωρείσθω.

Ὅτι οὐ δεῖ ἱερατικὸν ἄνδρα ἱματίοις πολυτελέσιν ἀμφιέννυσθαι.

Πᾶσα βλακεία καὶ κόσμησις σώματος, ἀλλοτρία ἐστὶ τῆς ἱερατικῆς τάξεως. τοὺς οὖν ἑαυτοὺς κοσμοῦντας ἐπισκόπους ἢ κληρικοὺς δι' ἐσθήτων λαμπρῶν καὶ περιφανῶν, τούτους διορθοῦσθαι χρή. εἰ δὲ ἐπιμένοιεν, ἐπιτιμίῳ παραδίδοσθαι· ὡσαύτως καὶ τοὺς μύροις χριομένους. ἐπειδὴ δὲ ἡ ῥίζα πικρίας ἄνω φύουσα μίασμα γέγονεν τῇ καθολικῇ ἐκκλησίᾳ, ἡ τῶν χριστιανοκατηγόρων αἵρεσις, καὶ οἱ ταύτην δεξάμενοι, οὐ μόνον τὰς εἰκονικὰς ἀναζωγραφήσεις ἐβδελύξαντο· ἀλλὰ καὶ πᾶσαν εὐλάβειαν ἀπώσαντο, τοὺς σεμνῶς καὶ εὐσεβῶς βιοῦντας προσοχθίσοντες. καὶ πεπλήρωται ἐπ' αὐτοῖς τὸ γεγραμμένον. βδέλυγμα ἁμαρτωλῶν θεοσέβεια· εἰ εὑρεθῶσι τοίνυν ἐγγελῶντες τοῖς τὴν εὐτελῆ καὶ σεμνὴν ἀμφίασιν περικειμένοις, δι' ἐπιτιμίου διορθούσθωσαν. ἐκ γὰρ τῶν ἄνωθεν χρόνων πᾶς ἱερατικὸς ἀνὴρ, μετὰ μετρίας καὶ σεμνῆς ἀμφιάσεως ἐπολιτεύετο.

πᾶν

πᾶν γὰρ ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περπερείας ἔχει κατηγορίαν, ὡς ὁ μέγας ἔφη Βασίλειος· ἀλλ' οὐδὲ ἐκ σηρικῶν ὑφασμάτων πεποικιλμένην ἐσθῆτα ἐνεδέδυντο. οὐδὲ τι προσετίθεσαν ἑτερόχροα ἐπιβλήματα ἐν τοῖς ἄκροις τῶν ἱματίων· ἤκουσαν γὰρ ἐκ τῆς θεοφθόγγου γλώσσης, ὅτι οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσί.

Ὅτι μὴ ἔχων τις τὰ πρὸς ἀπαρτισμὸν, μὴ ἐπιχειροίη κτίζειν εὐκτήριον οἶκον.

Ὅτι τινὲς τῶν μοναχῶν καταλιπόντες τὰ ἑαυτῶν μοναστήρια, ἐφιέμενοι ἄρχειν, καὶ τὸ ὑπακούειν ἀπαναινόμενοι, ἐγχειροῦσι κτίζειν εὐκτηρίους οἴκους, τὰ πρὸς ἀπαρτισμὸν μὴ ἔχοντες. εἴ τις οὖν τοῦτο ἐπιχειρήσοι ποιεῖν, κωλυέσθω ὑπὸ τοῦ κατὰ τὸν τόπον ἐπισκόπου. εἰ δὲ τὰ πρὸς ἀπαρτισμὸν ἔχοι, καὶ τὰ βεβουλευμένα αὐτῷ, εἰς πέρας ἀγέσθωσαν. τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν.

Ὅτι οὐ δεῖ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις, ἢ ἐν ἀνδρείοις μοναστηρίοις.

Ἀπρόσκοποι γίνεσθε καὶ τοῖς ἔξωθεν, φησὶν ὁ θεῖος ἀπόστολος. τὸ δὲ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις ἢ καὶ μοναστηρίοις, παντὸς προσκόμματος αἴτιον. εἴ τις οὖν δούλην ἢ ἐλευθέραν ἐν τῷ ἐπισκοπείῳ κτώμενος φωραθείη, ἢ ἐν μοναστηρίῳ πρὸς ἐγχείρησιν διακονίας τινὸς, ἐπιτιμάσθω· ἐπιμένων δὲ, καθαιρείσθω. εἰ δὲ καὶ τύχοι ἐν προαστείοις γυναῖκας εἶναι, καὶ θελήσοι ἐπίσκοπος ἢ ἡγούμενος πορείαν ἐν τοῖς ἐκεῖσε ποιήσασθαι, παρόντος ἐπισκόπου ἢ ἡγουμένου, μὴ δ' ὅλως ἐγχείρησιν διακονίας ποιεῖσθαι κατ' ἐκεῖνον τὸν καιρὸν γυναικὶ, ἀλλ' ἰδιαζέτω ἐν ἑτέρῳ τόπῳ, ἕως ἂν τὴν ἐπαναχώρησιν ποιήσηται ὁ ἐπίσκοπος διὰ τὸ ἀνεπίληπτον.

Περὶ τοῦ, ἐκτὸς δοσίων τὰς καταταγὰς τῶν ἱερατικῶν μοναχῶν τε καὶ μοναστριῶν γίνεσθαι.

Τοσοῦτον κατενεμήθη τῆς φιλαργυρίας τὸ μύσος εἰς τοὺς ἡγήτορας τῶν ἐκκλησιῶν, ὥστε καί τινας τῶν λεγομένων εὐλαβῶν ἀνδρῶν τε καὶ γυναικῶν ἐπιλαθομένους τὰς ἐντολὰς τοῦ κυρίου, ἐξαπατηθῆναι· καὶ διὰ χρυσίου τὰς εἰσδοχὰς τῶν προσερχομένων τῷ ἱερατικῷ τάγματι καὶ τῷ μονήρει βίῳ ποιεῖσθαι. καὶ γίνεται ὧν ἡ ἀρχὴ ἀδόκιμος καὶ τὸ πᾶν ἀπόβλητον, ὥς φησιν ὁ μέγας Βασίλειος, οὐ δὲ γὰρ θεῷ διὰ μαμωνᾶ δουλεύειν ἔξεστιν. εἴ τις οὖν εὑρεθῇ τοῦτο ποιῶν, εἰ μὲν ἐπίσκοπος ἢ ἡγούμενος ἢ τις τοῦ ἱερατικοῦ, ἢ παυσάσθω ἢ καθαιρείσθω κατὰ τὸν δεύτερον κανόνα τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου· εἰ δὲ ἡγουμένη, ἐκδιωχθήτω ἐκ τοῦ μοναστηρίου, καὶ παραδοθήτω ἐν ἑτέρῳ μοναστηρίῳ πρὸς ὑποταγήν. ὡσαύτως καὶ ἡγούμενος μὴ ἔχων χειροτο-

Omne enim id quod non propter usum, sed propter ornatum assumitur, mollitiei accusari potest, ut Magnus Basilius ait. Neque uestem serico panno uarietatam induant, neque in extremitate uestium partes alterius coloris assuant, nam ex diuina lingua audiuerunt, qui mollibus uestiuntur in domibus regum sunt.

17 Nemo conetur oratoriā domū cōdere qui non habet ea quæ ad ei⁹ perfectionē pertinēt.

Quidam monachorum imperare desiderātes, ac nolētes obtemperare deserunt sua monasteria, & oratoria ædificare conantur, cum tamen non habeant ea quæ ad perfectionem sunt necessaria. Si quis igitur aliquid tale conatus fuerit, ab eius loci episcopo prohibeatur. Si autem ea habet quæ ad operis perfectionem sunt necessaria, tum ei⁹ propositum ad finem perducatur. Idem circa laicos & clericos obseruetur.

18 Mulieres non inhabitēt episcopia aut monasteria uirorum.

Diuinus apostolus inquit eos qui foris sūt à nobis non esse offendendos, uerum omnis offensionis causa est, si mulieres in episcopijs aut monasterijs habitent. Quamobrem qui deprehēsus fuerit habere seruam uel liberam in episcopio aut in monasterio, ad peragendum aliquod ministerium, puniatur, & si perseuerauerit deponatur. Si uerò in suburbanis prædijs mulieres fuerint, ac episcop⁹ uel præses illuc proficisci uoluerit, tum eo præsente mulier nullum ministerium aggrediatur, sed alio in loco separatim maneat, ad reditum usque episcopi, ut omnis suspicio tollatur.

19 Sacri Monachi & monachæ absque muneribus recipiantur.

Scelus auaritiæ in tantum dispersum est inter gubernatores ecclesiarum, ut etiam quidam religiosi uiri ac fœminæ, obliti mandatorum Domini decepti sint, & propter pecuniam receperunt eos qui sacro ordini aut solitariæ uitæ accesserunt. Ac fit, quemadmodum magnus Basilius inquit, ut quorum principium est reprobum eorum omnia abiecta & uilia sint. Non enim Deo per Mammonam seruitur. Quamobrem si reperiatur aliquis talia faciens, si episcopus, aut præses, aut aliquis sacerdotum fuerit, uel cesset, uel deponatur, iuxta secundum canonem sancti Chalcedonensis cōcilij. Mulier uerò monasterij præses illo eijciatur, & in aliud monasterium ad obediēdū mancipet: idē fiat præsidi qui nō habet

ordinem presbyteri. De illis quæ parentes in modum dotis suis liberis dederunt, & de illis quæ ex priuatis possessionibus offeruntur, testantibus his qui offerunt ea Deo consecrata esse, decreuimus ut ea monasterio maneant, siue ipsi manserint, siue egressi fuerint: in ea culpa fuerit præsidis.

20 Ne deinceps fiant duplicia monasteria, & de duplicibus monasterijs.

Statuimus non fieri posthac duplex monasterium, quoniam hoc fit multis scandalum & offensio. Si uerò aliqui cũ cognatis uolunt renunciare mundo & uitã solitariam amplecti, uiros in monasterium uirorũ abire oportet, & mulieres in monasterium muliebre ingredi. Id enim Deo acceptum est. Si qua autẽ sunt duplicia, seruẽtur secundum cõstitutionem patris Basilij, quæ sic definit: In uno monasterio ne uersentur monachi & monachæ. Adulterium conuictũ mediatore utitur. aut monacha priuatim sermocinetur cum monacho. Monachus nõ cubet in mulierum monasterio, neq; cũ eo monacha sola cibum sumat. Et quando ea quæ ad uitã necessaria sunt, ex uirorum monasterio deportantur ad canonicas mulieres extra cœnobium ea accipiat mulieбris cœnobij præses cum aliqua anu monacha, nec monachus liberè cum monacha loquatur. Si autem eueniat ut aliquam cognatam monachus uelit aspicere, præsente præfecta cum ea colloquatur exiguo & breui sermone.

21 Monachi non relinquant sua monasteria, & in alia transeant.

Non oportet monachum uel monacham proprium relinquere monasterium, & ad aliud se conferre. Si autem hoc contigerit, ipsum in hospitem accipi est necessarium. Non autem conuenit eum suscipere absque uoluntate præsidis ipsius.

22 Monachi si ita contigerit, cum gratiarum actione ac omni parsimonia & reuerẽtia cum mulieribus cibum sumãt.

Omnia ad Deum referre, & non seruire propriæ uoluntati res est præstantissima. Siue enim editis, siue bibitis, inquit diuinus Apostolus, omnia ad gloriam Dei facite. Christus itaq; Deus noster in euangelijs iussit peccatorum principia excindere. Nõ enim adulterium tantum ab eo punitur, uerũ cogitationis motus ad conatũ adulterij dãnat, dicẽte ipso: quicunq; uidet mulierem ad concupiscendum eã iam adulterium commisit cum ea in

νίαν πρεσβυτέρου, περὶ δὲ τῶν παρὰ γονέων προσαδεδομένων δίκην προικώων τοῖς τέκνοις ἢ ἰδιοκτήτων αὐτῶν πραγμάτων προσαγομένων, ὁμολογούντων τῶν προσαγόντων ταῦτα ὡς ἀφιερωμένα τῷ θεῷ· ὡρίσαμεν, κἄν τε μένοι κἄν τε ἐξέλθοι, μένειν αὐτὰ ἐν τῷ μοναστηρίῳ, κατὰ τὴν ὑπόσχεσιν αὐτοῦ. εἰ μὴ εἴη αἰτία τοῦ προεστῶτος.

Ὅτι οὐ δεῖ ἀπὸ τοῦ παρόντος γίνεσθαι διπλοῦν μοναστήριον. καὶ περὶ τῶν διπλῶν μοναστηρίων.

Ἀπὸ τοῦ παρόντος ὁρίζομεν, μὴ γίνεσθαι διπλοῦν μοναστήριον, ὅτι σκάνδαλον καὶ πρόσκομμα τοῖς πολλοῖς γίνεται τοῦτο. εἰ δέ τινες μετὰ συγγενῶν προαιροῦνται ἀποτάξασθαι, καὶ τῷ μονήρει βίῳ κατακολουθεῖν, τοὺς μὲν ἄνδρας δέον ἀπιέναι εἰς ἀνδρεῖον μοναστήριον. καὶ τὰς γυναῖκας, εἰσιέναι ἐν γυναικείῳ μοναστηρίῳ· ἐπὶ τούτῳ γὰρ εὐαρεστεῖται ὁ θεός. τὰ δὲ ὄντα ἕως τοῦ νῦν διπλᾶ, κρατείτωσαν κατὰ τὸν κανόνα τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου καὶ κατὰ τὴν διαταγὴν αὐτοῦ οὕτω διατυπούσθωσαν. μὴ διαιτάσθωσαν ἐν ἑνὶ μοναστηρίῳ μοναχοὶ καὶ μονάστριαι· μοιχεία γὰρ μεσολαβεῖ τὴν συνδιαίτησιν. μὴ ἐχέτω μοναχὸς παρρησίαν πρὸς μονάστριαν, ἢ μονάστρια πρὸς μοναχὸν ἰδίᾳ προσομιλείτω. μὴ κοιταζέσθω μοναχὸς ἐν γυναικείῳ μοναστηρίῳ· μὴ συνεσθιέτω μονάστρια κατὰ μόνας. καὶ ὅτε τὰ ἀναγκαῖα τοῦ βίου παρὰ τοῦ ἀνδρείου μέρους πρὸς τὰς κανονικὰς ἀποκομίζονται, ἔξωθεν τῆς ποίμνης, ταῦτα λαμβανέτω ἡ ἡγουμένη τοῦ γυναικείου μοναστηρίου μετὰ γραός τινος μοναστρίας. εἰ δὲ συμβῇ, καὶ συγγενῆ τινα θέλει θεάσασθαι ὁ μοναχός, ἐπὶ παρουσίᾳ τῆς ἡγουμένης ταύτῃ προσομιλείτω διὰ μικρῶν καὶ βραχέων λόγων.

Ὅτι οὐ δεῖ καταλιμπάνειν τοὺς μοναχοὺς τὰ οἰκεῖα μοναστήρια, καὶ ἐν ἑτέροις μεταβαίνειν.

Μὴ δεῖν μοναχὸν ἢ μονάστριαν καταλιμπάνειν τὴν οἰκείαν μονήν, καὶ ἐν ἑτέρᾳ ἀπέρχεσθαι. εἰ δὲ συμβῇ τοῦτο, ξενοδοχεῖσθαι αὐτόν, ἀναγκαῖον. προσλαμβάνεσθαι δὲ ἄνευ γνώμης τοῦ ἡγουμένου αὐτοῦ οὐ προσήκει.

Ὅτι δεῖ μετ' εὐχαριστείας καὶ πάσης φειδοῦς καὶ εὐλαβείας μοναχούς, εἰ συμβῇ, μετὰ γυναικῶν ἐσθίειν.

Θεῷ, μετὰ τὸ πᾶν ἀνατίθεσθαι. καὶ οὐ τοῖς ἰδίοις θελήμασι δουλεῦσθαι, μέγα χρῆμα τυγχάνει, εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, ὁ θεῖος ἀπόστολός φησι, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. Χριστὸς οὖν ὁ θεὸς ἡμῶν ἐν τοῖς εὐαγγελίοις αὐτοῦ τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἐκκόπτειν προσέταξεν. οὐ γὰρ ἡ μοιχεία μόνον παρ' αὐτοῦ κολάζεται, ἀλλὰ καὶ ἡ κίνησις τοῦ λογισμοῦ πρὸς τὴν τῆς μοιχείας ἐγχείρησιν κατακέκριται, λέγοντος αὐτοῦ. ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ

δίᾳ αὐτοῦ. ἔνθεν οὖν μαθητευθέντες, λογισμοὺς ὀφείλομεν καθαίρειν. εἰ γὰρ καὶ πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει ὡς ἐξ ἀποστολικῆς φωνῆς διδασκόμεθα. ἐπάναγκες μὲν ἐστὶ παντὶ ἀνδρὶ, διὰ τὸ ζῆν ἐσθίειν. καὶ οἷς μὲν ὁ βίος ἐστὶ γάμου καὶ τέκνων καὶ λαϊκῆς διαθέσεως, ἀναμὶξ ἐσθίειν ἄνδρας καὶ γυναῖκας, τῶν ἀδιαβλήτων ἐστὶ, μόνον, τῷ διδόντι τροφὴν τὴν εὐχαριστίαν προσάγοντας, καὶ μὴ διά τινων θυμελικῶν ἐπιτηδευμάτων ἢ τῶν σατανικῶν ᾀσμάτων κιθαρῳδῶν τε καὶ πορνικῶν λογισμάτων· οἷς ἐπέρχεται προφητικὴ ἀρὰ οὕτως ἡ λέγουσα. οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες. τὰ δὲ ἔργα κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. καὶ εἴπω ποτὲ εἶεν τοιοῦτοι ἐν τοῖς χριστιανοῖς, διορθούσθωσαν· εἰ δὲ μή γε, κρατείτωσαν ἐπ' αὐτοῖς τὰ παρὰ τῶν πρὸ ἡμῶν κανονικῶς ἐκτεθέντα. οἷς δὲ ὁ βίος ἐστὶν ἡσύχιος καὶ μονότροπος, ὁ συνταξάμενος κυρίῳ τῷ θεῷ ζυγὸν μονήρη ἆραι, καθίσεται καὶ κατὰ μόνας καὶ σιωπήσει· ἀλλὰ μὴν καὶ τοῖς ἱερατικὸν ἐκλεξαμένοις βίον οὐδ' ὅλως ἔξεστι κατ' ἰδίαν γυναιξὶ συνεσθίειν. εἰ μή πω μετά τινων θεοφόρων καὶ εὐλαβῶν ἀνδρῶν καὶ γυναικῶν, ἵνα καὶ αὐτὴ ἡ συνεστίασις πρὸς καθόρθωσιν πνευματικὴν ἀπάγῃ· καὶ ἐπὶ τῶν συγγενῶν δὲ τὸ αὐτὸ ποιείτω. εἰ δὲ καὶ αὖθις ἐν ὁδοιπορίᾳ συμβῇ τὰ περὶ ἀναγκαίας χρείας μὴ ἐπιφέρεσθαι μοναχὸν ἢ καὶ ἱερατικὸν ἄνδρα, καὶ διὰ τὸ ἀναγκαῖον καταλῦσαι βούλεται, εἴτε ἐν πανδοχείῳ ἢ καὶ ἐν οἴκῳ τινὸς, ἄδειαν ἔχειν αὐτὸν τοῦτο ποιεῖν, ὡς τῆς χρείας κατεπειγούσης.

ΤΕΛΟΣ.

τῶν ἁγίων κανόνων.

corde suo. Hinc edocti cogitationes puras facere debem⁹. Si enim omnia licent, non tamē omnia conducunt, ut apostolica voce docemur. Ac omni quidem uiro edere necessariū est ad uiuendum. Illis igitur qui uitā laicā in coniugio ducunt, & liberos habent, uiros ac mulieres promiscuè cibum sumere non est uitio dādum, modo gratias agant ei qui cibum dat, non thymelicorum arte, aut diabolicis cātionibus cythararum, & meretriciarum modulationum. Quib⁹ superueniet uox prophetica dicens: Væ illis qui cum cythara & psalterio uinum bibunt, opera autem domini nō inspiciunt, & opera manuum eius non considerant. Quod si unquam tales inter Christianos fuerint, emendentur, & si id non fecerint tum contra illos rata maneāt ea quæ in canonibus decreta sunt. Qui uerò quietam & solitariam uitam agunt, & qui cōstituit Domino Deo tollere iugum uitæ solitariæ, solus sedebit ac tacebit. Veruntamen etiam illis qui sacerdotalem uitam elegerunt penitus non licet priuatim cum mulieribus comedere. Nisi interdum cum quibusdam pijs & religiosis uiris & mulieribus, ut etiam ipse conuictus ad perfectionem spiritualem perducat. Et in cognatis hoc idem obseruet. Rursus si in itinere contigerit monachum aut sacerdotem non habere secum ea quæ ad usum necessaria sūt, ideoque necessariò diuertere uoluerit in diuersorio publico, aut in alicuius domo, potestatem habet hoc faciendi usu & necessitate exigente.

FINIS.

Sacrorum Canonum.